ἐστι καὶ μηδὲν ὑποφαίνουσα τῆς ἐκεῖνον ἐπεσπασμένης
πιθανότητος εἰπεῖν, | ὡς εἰκός ἐστι πέντε σωμάτων ἰσο- 427
γωνίων καὶ ἰσοπλεύρων καὶ περιεχομένων ἴσοις ἐπιπέδοις
ἐγγενομένων τῇ ὕλῃ τοσούτους εὐθὺς ἐξ αὐτῶν ἀποτελε-
σθῆναι κόσμους.'

32. 'Καὶ μήν' ἔφην ἐγώ 'δοκεῖ Θεόδωρος ὁ Σολεὺς οὐ
φαύλως μετιέναι τὸν λόγον, ἐξηγούμενος τὰ μαθηματικὰ
τοῦ Πλάτωνος. μέτεισι δ' οὕτως. πυραμὶς καὶ ὀκτάεδρον
καὶ εἰκοσάεδρον καὶ δωδεκάεδρον, ἃ πρῶτα τίθεται
Πλάτων, καλὰ μέν ἐστι πάντα συμμετρίαις λόγων καὶ
ἰσότησι, καὶ κρεῖσσον οὐδὲν αὐτῶν οὐδ' ὅμοιον ἄλλο
συνθεῖναι τῇ φύσει καὶ συναρμόσαι λέλειπται. μιᾶς γε
μὴν πάντα συστάσεως οὐκ εἴληχεν οὐδ' ὁμοίαν ἔχει τὴν B
γένεσιν, ἀλλὰ λεπτότατον μέν ἐστι καὶ μικρότατον ἡ
πυραμίς, μέγιστον δὲ καὶ πολυμερέστατον τὸ δωδεκάε-
δρον· τῶν δὲ λειπομένων δυεῖν τοῦ ὀκταέδρου μεῖζον ἢ
διπλάσιον πλήθει τριγώνων τὸ εἰκοσάεδρον. διὸ τὴν γένε-
σιν ἅμα πάντα λαμβάνειν ἐκ μιᾶς ὕλης ἀδύνατόν ἐστι. τὰ
γὰρ λεπτὰ καὶ μικρὰ καὶ ταῖς κατασκευαῖς ἁπλούστερα
πρῶτα τῷ κινοῦντι καὶ διαπλάττοντι τὴν ὕλην ὑπακούειν
ἀνάγκη καὶ συντελεῖσθαι καὶ προϋφίστασθαι τῶν ἁδρο-
μερῶν καὶ πολυσωμάτων καὶ τὴν σύστασιν ἐργωδεστέραν
ἐχόντων, ἐξ ὧν τὸ δωδεκάεδρον. ἕπεται δὲ τούτῳ τὸ
μόνον εἶναι σῶμα πρῶτον τὴν πυραμίδα, τῶν δ' ἄλλων C
μηδέν, ἀπολειπομένων τῇ φύσει τῆς γενέσεως. ἔστιν οὖν
ἴαμα καὶ ταύτης τῆς ἀτοπίας ἡ τῆς ὕλης εἰς πέντε κόσμους
διαίρεσις καὶ διάστασις. ὅπου μὲν γὰρ πυραμὶς ὑποστήσε-